†Ἐπεὶ τὸ μέρ(ος) τ(ῆς) κ(α)τ(ὰ) τὴν νῆσον Πάτμον διακειμ(έ)ν(ης) σε(βασμίας) μο(νῆς) τοῦ ἠγαπημ(έ)νου Θεολόγ(ου) κέκτηται διαφόρ(ους) ὁρισμ(οὺς) τοῦ ἀοιδίμου βασ(ι)λ(έως) αὐθ(έν)τ(ου) καὶ πενθ(ε)ρ(οῦ) τ[ῆς] |2 βασ(ι)λ(είας) μου καὶ αὐτ(ῆς) δὴ τ(ῆς) βασ(ι)λ(είας) μου ἐπ' ἐξκουσσείᾳ παντελεῖ τῶν δύο πλατυδί(ων) αὐτ(ῆς), εὑρίσκουσι δὲ οἱ ἐν τ(οῖς) τοιούτ(οις) πλατυδί(οις) ἄν(θρωπ)οι τ(ῆς) μο(νῆς) ὀχλήσ(εις) ἀπ(ὸ) τῶν |3 τὰς παραιγιαλίους σκάλας κρατούντ(ων) καὶ παρ' αὐτοῦ δὴ τοῦ μέρ(ους) τοῦ οἰ(κείου) τῇ βασ(ι)λ(είᾳ) μου πιγκέρ(νου) δουκὸς τοῦ θέμ(α)τος τῶν Θρακη(σίων) κῦρ Ἰω(άννου) Κομνην(οῦ) τοῦ Καντακουζην(οῦ)· |4 καὶ διὰ τοῦτο ἐδεήθη τὸ μέρος τ(ῆς) τοιαύτ(ης) μο(νῆς) καὶ ἑτ(έ)ρου ὁρισμ(οῦ) τ(ῆς) βασ(ι)λ(είας) μου, ἐπικυροῦντος μ(ὲν) καὶ τ(ούς), ὡς εἴρητ(αι), προσόντ(ας) αὐτῇ ὁρισμ(ούς), διακελευομ(έ)ν(ου) δὲ καὶ | 5 εἰς τ(ὸ) ἑξῆς τ(ῆς) αὐτ(ῆς) ἐπαπολαύ(ειν) ἐξκουσσεί(ας) τ(ὰ) ταύτ(ης) πλατύδ(ια)· ἡ βασ(ι)λ(εία) μου, τ(ῆς) δεήσ(εως) αὐτ(οῦ) ἐπακούσασ(α), διορίζετ(αι) διὰ τοῦ παρόντος αὐτ(ῆς) ὁρισμ(οῦ) ἔχειν τ(ὰ) | 6 τοιαῦτα πλατύδ(ια) τὴν ἣν καὶ πρότ(ε)ρ(ον) εἶχον ἐξκούσσει(αν) καὶ μήτε παρὰ τοῦ οἰ(κείου) τῇ βασ(ι)λ(είᾳ) μου πιγκέρν(ου) κῦρ Ἰω(άννου) Κομνην(οῦ) τοῦ Καντακουζην(οῦ), μήτε παρ' ἑτέρου κρατοῦντος |7 τὸ κομμέρκ(ιον) τ(ῆς) Ἀναί(ας) ἢ καὶ αὐτ(ὰς) τ(ὰς) σκάλ(ας) τῶν Παλατ(ίων), τ(ῆς) Στροβήλ(ου), τ(ῆς) Ἐφέσου καὶ τὰς λοιπ(ὰς) παραλ[ί]ους εὑρίσκ(ειν) δ[ι]ασεισμ(ὸν) τινὰ ἢ ὄχλησ(ιν) καὶ ἐν τῷ Μελαν(ουδίῳ) | 8 καὶ τοῦ Σαμψὼν κ(α)τ(ὰ) τὰς περιλήψεις τῶν, ὡς εἴρητ(αι), προσόντ(ων) τῇ τοιαύτῃ μονῇ ὁρισμ(ῶν) τοῦ τε ἀοιδίμου βασιλέ(ως), αὐθ(έν)τ(ου) καὶ πενθ(ε)ρ(οῦ) τ(ῆς) βασ(ι)λ(είας) μου καὶ αὐτ(ῆς) τ(ῆς) βασ(ι)λ(είας) μου· |9 ἐπὶ τούτῳ γ(ὰρ) ἐγεγόνει τῇ διαληφθείσῃ μο(ν)ῇ τοῦ ἠγαπημ(έν)ου Θεολόγου, τῇ εἰς τ(ὴν) [Π]άτμον καὶ ὁ παρὼν τ(ῆς) βασ(ι)λ(είας) μου ὁρισμὸς καὶ ἐπεδόθη αὐτῇ δι' ἀσφάλει(αν)†

**|10 μη(νὶ) Ἀπριλλ(ίῳ), (ἰνδικτιῶνος) β' †**

**|11 †διὰ τοῦ Το(ρνί)κη Δημητρίου†**